λέγει κύριος παντοκράτωρ. [12]καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, 12
διότι ἔσεσθε ὑμεῖς γῆ θελητή, λέγει κύριος παντοκράτωρ.
[13]Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέγει κύριος, καὶ εἴπατε 13
Ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ; [14]εἴπατε Μάταιος ὁ δουλεύων 14
θεῷ, καὶ τί πλέον ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ καὶ διότι
ἐπορεύθημεν ἱκέται πρὸ προσώπου κυρίου παντοκράτορος; [15]καὶ 15
νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται πάντες ποι-
οῦντες ἄνομα καὶ ἀντέστησαν θεῷ καὶ ἐσώθησαν. [16]Ταῦτα κατ- 16
ελάλησαν οἱ φοβούμενοι τὸν κύριον, ἕκαστος πρὸς τὸν πλησίον
αὐτοῦ· καὶ προσέσχεν κύριος καὶ εἰσήκουσεν καὶ ἔγραψεν βιβλίον
μνημοσύνου ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν κύριον καὶ εὐλα-
βουμένοις τὸ ὄνομα αὐτοῦ. [17]καὶ ἔσονταί μοι, λέγει κύριος παντο- 17
κράτωρ, εἰς ἡμέραν, ἣν ἐγὼ ποιῶ εἰς περιποίησιν, καὶ αἱρετιῶ
αὐτοὺς ὃν τρόπον αἱρετίζει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ τὸν δουλεύ-
οντα αὐτῷ. [18]καὶ ἐπιστραφήσεσθε καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου 18
καὶ ἀνὰ μέσον ἀνόμου καὶ ἀνὰ μέσον τοῦ δουλεύοντος θεῷ καὶ
τοῦ μὴ δουλεύοντος. [19]διότι ἰδοὺ ἡμέρα κυρίου ἔρχεται καιομένη 19
ὡς κλίβανος καὶ φλέξει αὐτούς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς
καὶ πάντες οἱ ποιοῦντες ἄνομα καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα
ἡ ἐρχομένη, λέγει κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ
αὐτῶν ῥίζα οὐδὲ κλῆμα. [20]καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ 20
ὄνομά μου ἥλιος δικαιοσύνης καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ,
καὶ ἐξελεύσεσθε καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα.
[21]καὶ καταπατήσετε ἀνόμους, διότι ἔσονται σποδὸς ὑποκάτω τῶν 21
ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ, ᾗ ἐγὼ ποιῶ, λέγει κύριος παντοκράτωρ.
[22]καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμῖν Ηλιαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν 22
ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, [23]ὃς ἀποκαταστήσει καρ- 23
δίαν πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον
αὐτοῦ, μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην. [24]μνήσθητε νόμου 24
Μωυσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρηβ πρὸς
πάντα τὸν Ισραηλ προστάγματα καὶ δικαιώματα.

14 πλ(ε)ιον SQ*LC* | και $2^0$ > A || 15 παντες BS**LC*] > AQ$S^c$ | και paenult. BS*C*] > AQ*L* || 16 ταυτα] τοτε Gra. | κατελαλ.] κατ > A || 18 ανομου] αδικου A | θεω] pr. τω A*L* | fin.] + αυτω *L* || 19 διοτι] οτι $S^c$*LC* | κυριου AQ] > BS*LC* | η ult. > B† | εξ αυτων] εξ > $S^c$*L*, αυτω *C* || 20 αυτου] -των A† || 21 καταπατησατε A || 22. 23/24] tr. $S^c$*LC* = 𝔐 || 23 ελθω και] ελθων $S^c$*LC*

Subscr. μαλαχιας ιβ' B, προφητης αγγελος μαλαχιας ιβ' SA$^{(\dagger)}$: cf. inscr.